Τρίμετροι.

Bisetus. Περιοδικὴ, μονοστροφικὴ, καὶ διηγηματικὴ εἴσθεσις ἐκ στίχων νθ΄.

Αλ. Καὶ μὴν ἀκοῦσαί γ' ἄξιον τῶν πραγμάτων.
Εὐθὺς γὰρ αὐτοῦ κατόπιν ἐνθένδ' ἵεμην.
Ὁ δ' ἄρ' ἔνδον ἐλασίβροντ' ἀναρρηγνὺς ἔπη,
Τερατευόμενος ἤρειδε κατὰ τῶν ἱππέων,
Κρημνοὺς ἐρείδων, καὶ ξυνωμότας λέγων.
Πιθανώτατα δ' ἡ βουλή γ' ἅπασ' ἀκροωμένη,
Ἐγένετ' ὑπ' αὐτοῦ ψευδατραφάξυος πλέα,
Κἄβλεψε νάπυ, καὶ τὰ μέτωπ' ἀνέσπασε.
Κἄγωγ' ὅτε δὴ 'γνων ἐνδεχομένην τοὺς λόγους,
Καὶ τοῖσι φενακισμοῖσιν ἐξαπατωμένην,
Ἄγε δὴ Σκίταλοι, καὶ Φένακες, ἦν δ' ἐγὼ,
Βερέσχεθοί τε, καὶ κόβαλοι, καὶ μόθωνες,
Ἀγορά τ', ἐν ᾗ παῖς ὢν, ἐπαιδεύθην ἐγὼ,
Νῦν μοι θράσος, καὶ γλῶσσαν εὔπορον δότε,

*Senarij.*

*Ag. Equidem operæpretium est, rem ipsam cognoscere.*
*Námque illicet ipsum à tergo consequebar hinc.*
*At ille vocum rumpere fulmina in foro,*
*Et contra equites inuectus multa proloqui*
*Portenta verborum, & linguæ præcipitia*
*Eiaculari, vos coniuratos criminans.*
*Vbi, quæ verisimillima, senatus audijt,*
*Completus ab illo est Atraphaxios mendacijs:*
*Et torua tuens, vti qui sinapi victitant,*
*Frontem seueram corrugabat. Tunc ego,*
*Postquàm cognoui sermones admittier,*
*Et decipi senatum istis fallacijs:*
*Agitè, dicebam, impostores, viri improbi,*
*Fatui, scurræ, seruili præditi indole:*
*Et tu forum, in quo institutus sum paruulus,*
*Ferte expeditam linguam, ferte audaciam,*

Σχόλια. Καὶ μήν.] ἡ περιοδικὴ αὕτη, καὶ μονοστροφικὴ εἴσθεσις τοῦ ὑποκειτοῦ διηγηματική ἐστιν, ἐκ στίχων ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων νθ. ὧν τελευταίας ὀβολοῦ κορκάννοις ἀναλαβὼν ἐλήλυθα. ἐπὶ τῷ τέλει παράγραφος. κατόπιν δὲ ὄπισθεν ἢ μετ' αὐτοῦ ἐπορευόμην. τὸ δὲ ἐλασίβροντα παρὰ τὰ ἐκ τῆς ἀρχῆς Πινδάρου. ἀναρρηγνὺς δὲ ἀποσπῶν, μετὰ σφοδρότητος λέγων· τουτέστι πλάττων καὶ κατασκευάζων καὶ συντιθείς. ἔχεται δὲ καὶ τοῦτο τὸ ῥῆμα ἐμφάσεως μείζονος. ἄλλως. ὥσπερ ὑπὸ βροντῆς ἐλαυνόμενα. τουτέστι μεγαληγορῶν καὶ ὑπερόγκοις χρώμενος ῥήμασι, γέμουσι ψόφων. ἤτοι δὲ τὴν φωνὴν σκώπτει τοῦ Κλέωνος ὅτι ταχέως ἐφθέγγετο, ἢ ὡς ταχεῖαν πρὸς τὴν ἀπειλὴν, ἣν ἠπείλησεν ὁ Κλέων εἰπὼν συνταράξειν τήν τε γῆν καὶ τὴν θάλασσαν ἐπ' αὐτούς. τό τε γὰρ τὴν γῆν κινεῖν καὶ σαλεύειν καὶ τοὺς τῆς θαλάττης βυθοὺς, ἔργον τοῦ Διὸς ὡς καὶ τὸ βροντᾶν. προπαροξυτόνως δὲ ἀναγνωστέον ἐλασίβροντα.

Bisetus. Ἱέμην] ἐπορευόμην, παρὰ τὸ ἵεμαι, σαι, ται. τὸ πορεύομαι. ὅπερ οὕτω σχηματίζεται, ἔω, τὸ πορεύομαι, καὶ προσλήψει τοῦ ι εἴω, καὶ τὸ ι ψιλοῦται ὅθεν κατ' ἀποβολὴν τοῦ ε, ἴω. καὶ ἀττικῶς περισπώμενον ἰέω, ἰῶ, ὅθεν ἵημι, καὶ ἵεμαι. ὁ παρατατικὸς ἱέμην, ἵεσο, ἵετο. οἱ δὲ οὕτως, ἔω, ἴω, ἰέω, ἰῶ, ἵημι, ἵεμαι.

Σχόλια. Τερατευόμενος.] ψευδόμενος καὶ μηδὲν ἀληθὲς μηδὲ ὑγιὲς λέγων. Ἤρειδε κατὰ τῶν ἱππέων.] ἤφιε καὶ ἔπεμπε κατὰ τῶν ἱππέων. ἔφαμεν δὲ, ὅτι συνέστηκεν ὁ χορὸς ἐκ τῶν ἱππέων. εἰς τρία γὰρ μέρη τὸ παλαιὸν τῶν Ἀθηναίων διῄρητο ὁ δῆμος. εἰς τοὺς πεντακοσιομεδίμνους καλουμένους. οὓς διὰ τὸ γεωργεῖν τοσαῦτα μέτρα, οὕτως ὠνόμαζον. καὶ τοὺς ἱππέας καὶ τοὺς θῆτας. οἱ μὲν οὖν πεντακοσιομέδιμνοι, ἦσαν εὔποροι. οἱ δὲ ἱππεῖς, ἧττον μὲν πεντακοσιομεδίμνων. μέχρι δὲ τῶν τριακοσίων μέτρων. ἱππεῖς δὲ αὐτοὺς ὠνόμαζον, διὰ τὸ δύνασθαι ὁπότε αὐτοῖς χρεία γένηται ἵππων, ἕκαστος αὐτῶν τρέφειν. ἦσαν δὲ τὸ μὲν πρότερον κατὰ τὸν ἀριθμόν. οὗτοι δὲ μετὰ ταῦτα τῆς πόλεως πληθυνθείσης, ἐγένοντο διακόσιοι πρὸς τοῖς χιλίοις. ὅθεν καὶ τὰς θυσίας ἃς αὐτοὶ πέμποιεν ἐν ταῖς πομπαῖς, ἐκάλουν ἱππάδας. ἐξῆν δὲ αὐτοῖς καὶ κομᾶν. ἡ δὲ τρίτη τάξις, ἦσαν οἱ θῆτες παρ' αὐτοῖς. οἷς οὐδὲ ἄρχειν ἐφεῖτο, ἢ δικάζειν καὶ ἐκκλησιάζειν μόνον, ἵν' ἐκ τε τοῦ δικαστικοῦ καὶ ἐκκλησιαστικοῦ τρέφοιντο. Κρημνοὺς ἐρείδων.] ἐπιπέμπων καὶ ἀκοντίζων. τουτέστιν ἐγκλήματα ὑπέρογκα καὶ διαβολὰς χαλεπωτάτας ῥίπτων καὶ λογοποιῶν κατὰ τῶν ἱππέων. ἀπὸ δὲ τοῦ ἐλασίβροντα καὶ τοῦτο εἴληφε τὸ ῥῆμα ἐχόμενον τοῦ ὄγκου τοῦ προειρημένου. κρημνοὶ δέ εἰσι τὰ μέρη τὰ ἀπὸ τῶν ὀρῶν ἀποσπώμενα. καὶ τὴν ὄχθην δὲ κρημνὸν λέγουσιν, ἐπειδὴ πάντα τὰ ὑψηλὰ κρημνοί. Πιθανώτατα.] ἐγγὺς πίστεως καὶ ἀληθείας ἐχόμενα πλάττων ἐπιφέρων αὐτοῖς ἐγκλήματα. Ψευδατραφάξυος.] πλήρης ψευσμάτων. ἀτράφαξις δὲ, εἶδος λαχάνου, ὃ ταχέως εἰς μέγεθος αὔξεται. ἐπεὶ οὖν ὁ Κλέων ψευδῆ κατὰ τῶν ἱππέων κατηγόρησε, καὶ ἡ βουλὴ πείθεσθαι ἐδόκει, ψευδατραφάξυος εἶπε πλέαν τὴν βουλὴν γεγονέναι, διαβάλλων μὲν ὡς ψεύστην τὸν Κλέωνα, τῆς δὲ βουλῆς καθαπτόμενος, ὡς τοῖς ψευδομένοις καὶ διαβάλλουσι πειθομένοις εὐχερῶς καὶ ῥᾳδίως, ὥσπερ καὶ τὸ λάχανον αὔξεται. Κἄβλεψε νάπυ.] καὶ ἀνέβλεψε δριμὺ καὶ ὀργίλον. ἀπὸ τοῦ ψευδατραφάξυος, ἐξ ἧς εἶπε τὸ νάπυ. λαχάνου γὰρ καὶ τοῦτο εἶδος. ἔστι δὲ δριμὺ τὴν φύσιν. ἀφ' οὗ σπέρματος τὸ νῦν λεγόμενον σίνηπι γίνεται. νάπυ γὰρ τὸ σίνηπι λέγεται. Καὶ τὰ μέτωπ' ἀνέσπασε.] συνέστειλε τὰς ὀφρῦς. καὶ τοῦτο δὲ δεῖγμα ὀργῆς.

Bisetus. Κἄγωγ' ὅτε δὴ 'γνων] τὸ πλῆρες καὶ ἔγωγε ὅτε δὴ ἔγνων.

Σχόλια. Φενακισμοῖσιν.] ἀπατήμασι. φενάκη γάρ ἐστιν ἡ προσθετὴ κόμη. Ἄγε δὴ Σκίταλοι.] ὠνοματοποίησε δαίμονάς τινας ἀναπλάττας ἀναιδεῖς. οὐκ ὄντας γὰρ θεοὺς ἐπὶ χλεύῃ ἀσυνέτως προφέρεται τὰ ὀνόματα λέγων ὡς θεῶν. ἄλλως. οἷον προτρεπόμενος καὶ ἐπιθαρσύνων αὐτὸν εἰς ἀναίδειαν καὶ εὐτολμίαν ἀνέπλασε θεοὺς ἐπὶ χλεύῃ. οἷς ηὔξατο ἀρξάμενος τοῦ λέγειν. Σκίταλοι μὲν οὖν, οἱ εὐτελεῖς καὶ πονηροί. ἦν γάρ Σκίτων κναφεύς τις καὶ εὐτελὴς ἐπὶ πονηρίᾳ κωμῳδούμενος. βερέσχεθοι δὲ, οἱ ἀνόητοι. πέπλασται δὲ ἡ λέξις. κόαλεμοι δὲ οἱ ἀνόητα νοοῦντες καὶ νοοῦντες. μόθων δὲ, ὁ εὐτελής. μόθωνας γὰρ ἐκάλουν οἱ Λάκωνες, τοὺς παρεπομένους τοῖς ἐλευθέροις. ἔστι δὲ καὶ γένος ὀρχήσεως. ἄλλως πρὸς τὴν ὁμωνυμίαν οὐκ ὄντας θεοὺς ἐπὶ χλεύῃ προφέρεται. ὥσπερ δὲ προστάτας ἀνθρώπων πονηρῶν καὶ παρέδρους, τούτους ἐπεκαλεῖτο θεούς. οὐδεὶς δὲ αὐτῶν ἡρμήνευσε τὰ ὀνόματα. Ἦν δ' ἐγώ.] ἔφην δ' ἐγώ. ἀττικὴ δὲ ἡ λέξις καὶ ἡ σύνταξις. μάλιστα δὲ αὐτῇ συνεχῶς κέχρηται καὶ κατακόρως ὁ Πλάτων. καὶ ἦ δ' ὃς ἀντὶ τοῦ ἔφη ἐκεῖνος.

Biset. Καὶ μόθωνες] ἴσως μέτρου χάριν χαπλέον οὕτω, Βερέσχεθοί τε, καὶ Μόθωνες, καὶ κόβαλοι.

Σχόλ. Ἀγορά τ' ἐν ᾗ παῖς ὤν.] τά τε ἄλλα φησὶ παρεκελευόμην. καὶ τῆς ἀνατροφῆς ἀνεμιμνησκόμην. ὅτι ἐν